7 καὶ τὰ παιδία· [7]καὶ πάντα τὰ κτήνη καὶ τὰ σκῦλα τῶν πόλεων
ἐπρονομεύσαμεν ἑαυτοῖς.
8 [8]Καὶ ἐλάβομεν ἐν τῷ καιρῷ ἐκείνῳ τὴν γῆν ἐκ χειρῶν δύο βασι-
λέων τῶν Αμορραίων, οἳ ἦσαν πέραν τοῦ Ιορδάνου ἀπὸ τοῦ χει-
9 μάρρου Αρνων καὶ ἕως Αερμων ([9]οἱ Φοίνικες ἐπονομάζουσιν τὸ
10 Αερμων Σανιωρ, καὶ ὁ Αμορραῖος ἐπωνόμασεν αὐτὸ Σανιρ), [10]πᾶ-
σαι πόλεις Μισωρ καὶ πᾶσα Γαλααδ καὶ πᾶσα Βασαν ἕως Σελχα
11 καὶ Εδραϊν, πόλεις βασιλείας τοῦ Ωγ ἐν τῇ Βασαν. [11]ὅτι πλὴν Ωγ
βασιλεὺς Βασαν κατελείφθη ἀπὸ τῶν Ραφαϊν· ἰδοὺ ἡ κλίνη αὐτοῦ
κλίνη σιδηρᾶ, ἰδοὺ αὕτη ἐν τῇ ἄκρᾳ τῶν υἱῶν Αμμων, ἐννέα πη-
χῶν τὸ μῆκος αὐτῆς καὶ τεσσάρων πηχῶν τὸ εὖρος αὐτῆς ἐν
12 πήχει ἀνδρός. [12]καὶ τὴν γῆν ἐκείνην ἐκληρονομήσαμεν ἐν τῷ και-
ρῷ ἐκείνῳ ἀπὸ Αροηρ, ἥ ἐστιν ἐπὶ τοῦ χείλους χειμάρρου Αρνων,
καὶ τὸ ἥμισυ ὄρους Γαλααδ καὶ τὰς πόλεις αὐτοῦ ἔδωκα τῷ Ρου-
13 βην καὶ τῷ Γαδ. [13]καὶ τὸ κατάλοιπον τοῦ Γαλααδ καὶ πᾶσαν τὴν
Βασαν, βασιλείαν Ωγ, ἔδωκα τῷ ἡμίσει φυλῆς Μανασση καὶ πᾶ-
σαν περίχωρον Αργοβ, πᾶσαν τὴν Βασαν ἐκείνην· γῆ Ραφαϊν λο-
14 γισθήσεται. [14]καὶ Ιαϊρ υἱὸς Μανασση ἔλαβεν πᾶσαν τὴν περίχωρον
Αργοβ ἕως τῶν ὁρίων Γαργασι καὶ Ομαχαθι· ἐπωνόμασεν αὐτὰς
ἐπὶ τῷ ὀνόματι αὐτοῦ τὴν Βασαν Αυωθ Ιαϊρ ἕως τῆς ἡμέρας ταύ-
15 16 της. [15]καὶ τῷ Μαχιρ ἔδωκα τὴν Γαλααδ. [16]καὶ τῷ Ρουβην καὶ τῷ
Γαδ δέδωκα ἀπὸ τῆς Γαλααδ ἕως χειμάρρου Αρνων (μέσον τοῦ
χειμάρρου ὅριον) καὶ ἕως τοῦ Ιαβοκ· ὁ χειμάρρους ὅριον τοῖς
17 υἱοῖς Αμμαν· [17]καὶ ἡ Αραβα καὶ ὁ Ιορδάνης ὅριον Μαχαναρεθ καὶ
ἕως θαλάσσης Αραβα, θαλάσσης ἁλυκῆς, ὑπὸ Ασηδωθ τὴν Φασγα
18 ἀνατολῶν. — [18]καὶ ἐνετειλάμην ὑμῖν ἐν τῷ καιρῷ ἐκείνῳ λέγων
Κύριος ὁ θεὸς ὑμῶν ἔδωκεν ὑμῖν τὴν γῆν ταύτην ἐν κλήρῳ· ἐνο-
πλισάμενοι προπορεύεσθε πρὸ προσώπου τῶν ἀδελφῶν ὑμῶν υἱῶν
19 Ισραηλ, πᾶς δυνατός· [19]πλὴν αἱ γυναῖκες ὑμῶν καὶ τὰ τέκνα ὑμῶν
καὶ τὰ κτήνη ὑμῶν — οἶδα ὅτι πολλὰ κτήνη ὑμῖν — κατοικείτω-
20 σαν ἐν ταῖς πόλεσιν ὑμῶν, αἷς ἔδωκα ὑμῖν, [20]ἕως ἂν καταπαύσῃ
κύριος ὁ θεὸς ὑμῶν τοὺς ἀδελφοὺς ὑμῶν ὥσπερ καὶ ὑμᾶς, καὶ
κατακληρονομήσουσιν καὶ οὗτοι τὴν γῆν, ἣν κύριος ὁ θεὸς ἡμῶν

8 και ult. > A || 9 επονομαζουσιν] επωνομασαν B$^{c}$ | αρμων B*† || 10 σελχα pau.] ελχα BA | εδρα(ε)ιν W] -ειμ BA$^{(\dagger)}$: cf. 1 | βασιλειαι B || 11 απο] υπο B*† | αμμων] -μαν AB$^{c}$ | αυτης ult. > B*† || 12 εκληρον.] επρονομευσαμεν B* | επι του χειλους] παρα το -λος AB$^{c}$ | ορους] pr. του AB$^{c}$ || 13 περιχωρον] pr. την A | την ult.] γην B$^{(\dagger)}$ || 14 την $1^{0}$ > B*† | αργοβ] αρβοκ B* | γαρτασει B*† | ομαχαθι] ο ιαειρ A | αυτας] -το A | βασαν] βασσεμαθ B*† || 16 εδωκα AB$^{c}$ | μεσον τ. χ. οριον > B*† || 17 μαχαναρεθ] απο μαχενερεθ A || 18 υμων $1^{0}$] ημ. B | δεδωκεν A || 19 κτηνη $2^{0}$] pr. τα A† || 20 υμων $1^{0}$ > A



δίδωσιν αὐτοῖς ἐν τῷ πέραν τοῦ Ιορδάνου, καὶ ἐπαναστραφήσεσθε
ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ, ἣν ἔδωκα ὑμῖν.
[21]Καὶ τῷ Ἰησοῖ ἐνετειλάμην ἐν τῷ καιρῷ ἐκείνῳ λέγων Οἱ 21
ὀφθαλμοὶ ὑμῶν ἑωράκασιν πάντα, ὅσα ἐποίησεν κύριος ὁ θεὸς
ἡμῶν τοῖς δυσὶ βασιλεῦσι τούτοις· οὕτως ποιήσει κύριος ὁ θεὸς
ἡμῶν πάσας τὰς βασιλείας, ἐφ᾽ ἃς σὺ διαβαίνεις ἐκεῖ· [22]οὐ φοβη- 22
θήσεσθε, ὅτι κύριος ὁ θεὸς ἡμῶν αὐτὸς πολεμήσει περὶ ὑμῶν. —
[23]καὶ ἐδεήθην κυρίου ἐν τῷ καιρῷ ἐκείνῳ λέγων [24]Κύριε κύριε, σὺ 23 24
ἤρξω δεῖξαι τῷ σῷ θεράποντι τὴν ἰσχύν σου καὶ τὴν δύναμίν σου
καὶ τὴν χεῖρα τὴν κραταιὰν καὶ τὸν βραχίονα τὸν ὑψηλόν· τίς γάρ
ἐστιν θεὸς ἐν τῷ οὐρανῷ ἢ ἐπὶ τῆς γῆς, ὅστις ποιήσει καθὰ σὺ
ἐποίησας καὶ κατὰ τὴν ἰσχύν σου; [25]διαβὰς οὖν ὄψομαι τὴν γῆν 25
τὴν ἀγαθὴν ταύτην τὴν οὖσαν πέραν τοῦ Ιορδάνου, τὸ ὄρος τοῦτο
τὸ ἀγαθὸν καὶ τὸν Ἀντιλίβανον. [26]καὶ ὑπερεῖδεν κύριος ἐμὲ ἕνεκεν 26
ὑμῶν καὶ οὐκ εἰσήκουσέν μου, καὶ εἶπεν κύριος πρός με Ἱκανούσθω
σοι, μὴ προσθῇς ἔτι λαλῆσαι τὸν λόγον τοῦτον· [27]ἀνάβηθι ἐπὶ 27
κορυφὴν Λελαξευμένου καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς κατὰ θάλασ-
σαν καὶ βορρᾶν καὶ λίβα καὶ ἀνατολὰς καὶ ἰδὲ τοῖς ὀφθαλμοῖς σου·
ὅτι οὐ διαβήσῃ τὸν Ιορδάνην τοῦτον. [28]καὶ ἔντειλαι Ἰησοῖ καὶ 28
κατίσχυσον αὐτὸν καὶ παρακάλεσον αὐτόν, ὅτι οὗτος διαβήσεται
πρὸ προσώπου τοῦ λαοῦ τούτου, καὶ αὐτὸς κατακληρονομήσει
αὐτοῖς τὴν γῆν, ἣν ἑώρακας. — [29]καὶ ἐνεκαθήμεθα ἐν νάπῃ σύν- 29
εγγυς οἴκου Φογωρ.
[1]Καὶ νῦν, Ισραηλ, ἄκουε τῶν δικαιωμάτων καὶ τῶν κριμάτων, 4
ὅσα ἐγὼ διδάσκω ὑμᾶς σήμερον ποιεῖν, ἵνα ζῆτε καὶ πολυπλασια-
σθῆτε καὶ εἰσελθόντες κληρονομήσητε τὴν γῆν, ἣν κύριος ὁ θεὸς
τῶν πατέρων ὑμῶν δίδωσιν ὑμῖν. [2]οὐ προσθήσετε πρὸς τὸ ῥῆμα, 2
ὃ ἐγὼ ἐντέλλομαι ὑμῖν, καὶ οὐκ ἀφελεῖτε ἀπ᾽ αὐτοῦ· φυλάσσεσθε
τὰς ἐντολὰς κυρίου τοῦ θεοῦ ὑμῶν, ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν
σήμερον. [3]οἱ ὀφθαλμοὶ ὑμῶν ἑωράκασιν πάντα, ὅσα ἐποίησεν κύ- 3
ριος ὁ θεὸς ἡμῶν τῷ Βεελφεγωρ, ὅτι πᾶς ἄνθρωπος, ὅστις ἐπο-
ρεύθη ὀπίσω Βεελφεγωρ, ἐξέτριψεν αὐτὸν κύριος ὁ θεὸς ὑμῶν ἐξ
ὑμῶν· [4]ὑμεῖς δὲ οἱ προσκείμενοι κυρίῳ τῷ θεῷ ὑμῶν ζῆτε πάν- 4
τες ἐν τῇ σήμερον. [5]ἴδετε δέδειχα ὑμῖν δικαιώματα καὶ κρίσεις, 5

21 ημων $1^{0}$] υμ. A† || 22 φοβηθησεσθε] -θηση B*(uid.)†, + απ αυτων A | πολεμει B*† || 23 κυριου] pr. εναντιον B*† || 24 κυριε $2^{0}$] ο θεος B*(uid.)† | ηρξω] ηρξαι A | εστιν > A | τω ult. > A | της > B$^{c}$ | συ εποιησας] tr. A || 25 τουτο > B* || 27 κορυφη B*(uid.) | λελαξ.] pr. του A | αναβλεψον A | λιβα] νοτον A || 28 κατισχυσον] ενισχ. A† | κατισχ. ... παρακαλ.] tr. B$^{c}$ | αυτος] ουτος B$^{c}$ | την] pr. πασαν B$^{c}$
4 1 κριματων] ρημ. A† | και πολυπλασ. (cf. 8 1 11 8)] > A || 2 προσθησεσθε B* | υμιν $1^{0}$] + σημερον B$^{c}$ | τας] pr. πασας B$^{c}$ | υμων] ημ. B$^{c}$: item in 4 | οσας B$^{c}$ || 3 ημων] υμ. A | υμων paenult.] ημ. AB$^{c}$ | υμων ult.] ημ. B*

καθὰ ἐνετείλατό μοι κύριος, ποιῆσαι οὕτως ἐν τῇ γῇ, εἰς ἣν ὑμεῖς
6 εἰσπορεύεσθε ἐκεῖ κληρονομεῖν αὐτήν· [6]καὶ φυλάξεσθε καὶ ποιή-
σετε, ὅτι αὕτη ἡ σοφία ὑμῶν καὶ ἡ σύνεσις ἐναντίον πάντων
τῶν ἐθνῶν, ὅσοι ἐὰν ἀκούσωσιν πάντα τὰ δικαιώματα ταῦτα καὶ
ἐροῦσιν Ἰδοὺ λαὸς σοφὸς καὶ ἐπιστήμων τὸ ἔθνος τὸ μέγα τοῦτο.
7 [7]ὅτι ποῖον ἔθνος μέγα, ᾧ ἐστιν αὐτῷ θεὸς ἐγγίζων αὐτοῖς ὡς
8 κύριος ὁ θεὸς ἡμῶν ἐν πᾶσιν, οἷς ἐὰν αὐτὸν ἐπικαλεσώμεθα; [8]καὶ
ποῖον ἔθνος μέγα, ᾧ ἐστιν αὐτῷ δικαιώματα καὶ κρίματα δίκαια
κατὰ πάντα τὸν νόμον τοῦτον, ὃν ἐγὼ δίδωμι ἐνώπιον ὑμῶν σή-
9 μερον; [9]πρόσεχε σεαυτῷ καὶ φύλαξον τὴν ψυχήν σου σφόδρα,
μὴ ἐπιλάθῃ πάντας τοὺς λόγους, οὓς ἑωράκασιν οἱ ὀφθαλμοί σου·
καὶ μὴ ἀποστήτωσαν ἀπὸ τῆς καρδίας σου πάσας τὰς ἡμέρας τῆς
ζωῆς σου, καὶ συμβιβάσεις τοὺς υἱούς σου καὶ τοὺς υἱοὺς τῶν
10 υἱῶν σου [10]ἡμέραν, ἣν ἔστητε ἐναντίον κυρίου τοῦ θεοῦ ὑμῶν ἐν
Χωρηβ τῇ ἡμέρᾳ τῆς ἐκκλησίας, ὅτε εἶπεν κύριος πρός με Ἐκκλη-
σίασον πρός με τὸν λαόν, καὶ ἀκουσάτωσαν τὰ ῥήματά μου, ὅπως
μάθωσιν φοβεῖσθαί με πάσας τὰς ἡμέρας, ἃς αὐτοὶ ζῶσιν ἐπὶ τῆς
11 γῆς, καὶ τοὺς υἱοὺς αὐτῶν διδάξωσιν. [11]καὶ προσήλθετε καὶ ἔστητε
ὑπὸ τὸ ὄρος, καὶ τὸ ὄρος ἐκαίετο πυρὶ ἕως τοῦ οὐρανοῦ, σκότος,
12 γνόφος, θύελλα, φωνὴ μεγάλη. [12]καὶ ἐλάλησεν κύριος πρὸς ὑμᾶς
ἐκ μέσου τοῦ πυρός· φωνὴν ῥημάτων ὑμεῖς ἠκούσατε καὶ ὁμοίωμα
13 οὐκ εἴδετε, ἀλλ᾽ ἢ φωνήν· [13]καὶ ἀνήγγειλεν ὑμῖν τὴν διαθήκην αὐ-
τοῦ, ἣν ἐνετείλατο ὑμῖν ποιεῖν, τὰ δέκα ῥήματα, καὶ ἔγραψεν αὐτὰ
14 ἐπὶ δύο πλάκας λιθίνας. [14]καὶ ἐμοὶ ἐνετείλατο κύριος ἐν τῷ καιρῷ
ἐκείνῳ διδάξαι ὑμᾶς δικαιώματα καὶ κρίσεις ποιεῖν αὐτὰ ὑμᾶς ἐπὶ
15 τῆς γῆς, εἰς ἣν ὑμεῖς εἰσπορεύεσθε ἐκεῖ κληρονομεῖν αὐτήν. [15]καὶ
φυλάξεσθε σφόδρα τὰς ψυχὰς ὑμῶν, ὅτι οὐκ εἴδετε ὁμοίωμα ἐν
τῇ ἡμέρᾳ, ᾗ ἐλάλησεν κύριος πρὸς ὑμᾶς ἐν Χωρηβ ἐν τῷ ὄρει ἐκ
16 μέσου τοῦ πυρός. [16]μὴ ἀνομήσητε καὶ ποιήσητε ὑμῖν ἑαυτοῖς
γλυπτὸν ὁμοίωμα, πᾶσαν εἰκόνα, ὁμοίωμα ἀρσενικοῦ ἢ θηλυκοῦ,
17 [17]ὁμοίωμα παντὸς κτήνους τῶν ὄντων ἐπὶ τῆς γῆς, ὁμοίωμα παν-
18 τὸς ὀρνέου πτερωτοῦ, ὃ πέταται ὑπὸ τὸν οὐρανόν, [18]ὁμοίωμα
παντὸς ἑρπετοῦ, ὃ ἕρπει ἐπὶ τῆς γῆς, ὁμοίωμα παντὸς ἰχθύος,
19 ὅσα ἐστὶν ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς. [19]καὶ μὴ ἀναβλέψας
εἰς τὸν οὐρανὸν καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς
ἀστέρας καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ πλανηθεὶς προσκυνή-

5 κυριος] + ο θεος μου A | ουτως] + υμας A | υμεις > A† || 6 των > B* || 7 αυτω] pr. εν A: item A† in 8 || 8 ενωπ. υμων] υμιν B* || 9 φυλαξαι $B^c$ || 10 εναντιον] ενωπιον A$B^c$ | υμων] ημ. B | ας] οσας A$B^c$ | διδαξωσιν W] -ξουσιν BA || 11 φωνη μεγ.] > A, μεγ. > B*(uid.)†; cf. 5 22 || 12 κυριος] + ο θεος $B^c$ | υμας] + εν τω ορει A$B^c$ | υμεις] pr. ην B† || 14 εμοι] μοι B† | αυτα υμας] tr. A | κληρονομησαι A || 15 ουκ ειδ. / ομοιωμα] tr. $B^c$ || 16 η] και A† || 18 οσα] α B†



σῃς αὐτοῖς καὶ λατρεύσῃς αὐτοῖς, ἃ ἀπένειμεν κύριος ὁ θεός σου
αὐτὰ πᾶσιν τοῖς ἔθνεσιν τοῖς ὑποκάτω τοῦ οὐρανοῦ. [20]ὑμᾶς δὲ 20
ἔλαβεν ὁ θεὸς καὶ ἐξήγαγεν ὑμᾶς ἐκ τῆς καμίνου τῆς σιδηρᾶς ἐξ
Αἰγύπτου εἶναι αὐτῷ λαὸν ἔγκληρον ὡς ἐν τῇ ἡμέρᾳ ταύτῃ. [21]καὶ 21
κύριος ἐθυμώθη μοι περὶ τῶν λεγομένων ὑφ᾽ ὑμῶν καὶ ὤμοσεν
ἵνα μὴ διαβῶ τὸν Ιορδάνην τοῦτον καὶ ἵνα μὴ εἰσέλθω εἰς τὴν
γῆν, ἣν κύριος ὁ θεὸς δίδωσίν σοι ἐν κλήρῳ· [22]ἐγὼ γὰρ ἀποθνῄ- 22
σκω ἐν τῇ γῇ ταύτῃ καὶ οὐ διαβαίνω τὸν Ιορδάνην τοῦτον, ὑμεῖς
δὲ διαβαίνετε καὶ κληρονομήσετε τὴν γῆν τὴν ἀγαθὴν ταύτην.
[23]προσέχετε ὑμεῖς, μὴ ἐπιλάθησθε τὴν διαθήκην κυρίου τοῦ θεοῦ 23
ὑμῶν, ἣν διέθετο πρὸς ὑμᾶς, καὶ ποιήσητε ὑμῖν ἑαυτοῖς γλυπτὸν
ὁμοίωμα πάντων, ὧν συνέταξεν κύριος ὁ θεός σου· [24]ὅτι κύριος 24
ὁ θεός σου πῦρ καταναλίσκον ἐστίν, θεὸς ζηλωτής.

[25]Ἐὰν δὲ γεννήσῃς υἱοὺς καὶ υἱοὺς τῶν υἱῶν σου καὶ χρονί- 25
σητε ἐπὶ τῆς γῆς καὶ ἀνομήσητε καὶ ποιήσητε γλυπτὸν ὁμοίωμα
παντὸς καὶ ποιήσητε τὰ πονηρὰ ἐναντίον κυρίου τοῦ θεοῦ ὑμῶν
παροργίσαι αὐτόν, [26]διαμαρτύρομαι ὑμῖν σήμερον τόν τε οὐρανὸν 26
καὶ τὴν γῆν ὅτι ἀπωλείᾳ ἀπολεῖσθε ἀπὸ τῆς γῆς, εἰς ἣν ὑμεῖς δια-
βαίνετε τὸν Ιορδάνην ἐκεῖ κληρονομῆσαι αὐτήν· οὐχὶ πολυχρονιεῖτε
ἡμέρας ἐπ᾽ αὐτῆς, ἀλλ᾽ ἢ ἐκτριβῇ ἐκτριβήσεσθε. [27]καὶ διασπερεῖ 27
κύριος ὑμᾶς ἐν πᾶσιν τοῖς ἔθνεσιν καὶ καταλειφθήσεσθε ὀλίγοι
ἀριθμῷ ἐν τοῖς ἔθνεσιν, εἰς οὓς εἰσάξει κύριος ὑμᾶς ἐκεῖ. [28]καὶ 28
λατρεύσετε ἐκεῖ θεοῖς ἑτέροις, ἔργοις χειρῶν ἀνθρώπων, ξύλοις καὶ
λίθοις, οἳ οὐκ ὄψονται οὐδὲ μὴ ἀκούσωσιν οὔτε μὴ φάγωσιν οὔτε
μὴ ὀσφρανθῶσιν. [29]καὶ ζητήσετε ἐκεῖ κύριον τὸν θεὸν ὑμῶν καὶ 29
εὑρήσετε, ὅταν ἐκζητήσητε αὐτὸν ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ
ὅλης τῆς ψυχῆς σου ἐν τῇ θλίψει σου· [30]καὶ εὑρήσουσίν σε πάν- 30
τες οἱ λόγοι οὗτοι ἐπ᾽ ἐσχάτῳ τῶν ἡμερῶν, καὶ ἐπιστραφήσῃ πρὸς
κύριον τὸν θεόν σου καὶ εἰσακούσῃ τῆς φωνῆς αὐτοῦ· [31]ὅτι θεὸς 31
οἰκτίρμων κύριος ὁ θεός σου, οὐκ ἐγκαταλείψει σε οὐδὲ μὴ ἐκ-
τρίψει σε, οὐκ ἐπιλήσεται τὴν διαθήκην τῶν πατέρων σου, ἣν
ὤμοσεν αὐτοῖς. [32]ἐπερωτήσατε ἡμέρας προτέρας τὰς γενομένας 32
προτέρας σου ἀπὸ τῆς ἡμέρας, ἧς ἔκτισεν ὁ θεὸς ἄνθρωπον ἐπὶ
τῆς γῆς, καὶ ἐπὶ τὸ ἄκρον τοῦ οὐρανοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ,

19 αυτα > $B^c$ || 20 ο θεος] pr. κυριος A, κυριος ÷ ο θεος *O* | υμας $2^0$] ημ. B†, + εκ γης αιγυπτου B† | εγκληρον] ευκλ. B*† || 21 κυριος $1^0$] + ο θεος $B^c$ | υμων] ημ. A | θεος] + σου B (in *O* sub ※) || 22 τουτον] > B*, in *O* sub ÷ || 23 υμεις] υμιν B*† | και] + ανομησητε και $B^c$ | συνεταξεν] + σοι A$B^c$ || 25 το πονηρον A$B^c$(om. το) | εναντι A || 26 αυτην > B† || 27 ολιγω A | τοις ult.] pr. πασι(ν) A$B^c$ || 29 ζητησετε] pr. εκ A | υμων W] ημ. BA | ευρησετε] + αυτον A | σου $1^0$] υμων $A^r$ || 30 εσχατω B†] -του A | προς] επι A || 31 fin.] + κυριος $B^c$ || 32 ανθρωπον] pr. τον A | ακρου] pr. του $B^c$

εἰ γέγονεν κατὰ τὸ ῥῆμα τὸ μέγα τοῦτο, εἰ ἤκουσται τοιοῦτο·
33 [33]εἰ ἀκήκοεν ἔθνος φωνὴν θεοῦ ζῶντος λαλοῦντος ἐκ μέσου τοῦ
34 πυρός, ὃν τρόπον ἀκήκοας σὺ καὶ ἔζησας· [34]εἰ ἐπείρασεν ὁ θεὸς
εἰσελθὼν λαβεῖν ἑαυτῷ ἔθνος ἐκ μέσου ἔθνους ἐν πειρασμῷ καὶ
ἐν σημείοις καὶ ἐν τέρασιν καὶ ἐν πολέμῳ καὶ ἐν χειρὶ κραταιᾷ
καὶ ἐν βραχίονι ὑψηλῷ καὶ ἐν ὁράμασιν μεγάλοις κατὰ πάντα,
ὅσα ἐποίησεν κύριος ὁ θεὸς ἡμῶν ἐν Αἰγύπτῳ ἐνώπιόν σου βλέ-
35 ποντος· [35]ὥστε εἰδῆσαί σε ὅτι κύριος ὁ θεός σου, οὗτος θεός
36 ἐστιν, καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ. [36]ἐκ τοῦ οὐρανοῦ ἀκουστὴ
ἐγένετο ἡ φωνὴ αὐτοῦ παιδεῦσαί σε, καὶ ἐπὶ τῆς γῆς ἔδειξέν σοι
τὸ πῦρ αὐτοῦ τὸ μέγα, καὶ τὰ ῥήματα αὐτοῦ ἤκουσας ἐκ μέσου
37 τοῦ πυρός. [37]διὰ τὸ ἀγαπῆσαι αὐτὸν τοὺς πατέρας σου καὶ ἐξε-
λέξατο τὸ σπέρμα αὐτῶν μετ᾽ αὐτοὺς ὑμᾶς καὶ ἐξήγαγέν σε αὐτὸς
38 ἐν τῇ ἰσχύι αὐτοῦ τῇ μεγάλῃ ἐξ Αἰγύπτου [38]ἐξολεθρεῦσαι ἔθνη
μεγάλα καὶ ἰσχυρότερά σου πρὸ προσώπου σου εἰσαγαγεῖν σε
δοῦναί σοι τὴν γῆν αὐτῶν κληρονομεῖν, καθὼς ἔχεις σήμερον.
39 [39]καὶ γνώσῃ σήμερον καὶ ἐπιστραφήσῃ τῇ διανοίᾳ ὅτι κύριος ὁ
θεός σου, οὗτος θεὸς ἐν τῷ οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω,
40 καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ· [40]καὶ φυλάξῃ τὰ δικαιώματα αὐτοῦ
καὶ τὰς ἐντολὰς αὐτοῦ, ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἵνα εὖ
σοι γένηται καὶ τοῖς υἱοῖς σου μετὰ σέ, ὅπως μακροήμεροι γέ-
νησθε ἐπὶ τῆς γῆς, ἧς κύριος ὁ θεός σου δίδωσίν σοι πάσας
τὰς ἡμέρας.
41 [41]Τότε ἀφώρισεν Μωυσῆς τρεῖς πόλεις πέραν τοῦ Ιορδάνου ἀπὸ
42 ἀνατολῶν ἡλίου [42]φυγεῖν ἐκεῖ τὸν φονευτήν, ὃς ἂν φονεύσῃ τὸν
πλησίον οὐκ εἰδὼς καὶ οὗτος οὐ μισῶν αὐτὸν πρὸ τῆς ἐχθὲς καὶ
τρίτης, καὶ καταφεύξεται εἰς μίαν τῶν πόλεων τούτων καὶ ζήσεται·
43 [43]τὴν Βοσορ ἐν τῇ ἐρήμῳ ἐν τῇ γῇ τῇ πεδινῇ τῷ Ρουβην καὶ τὴν
Ραμωθ ἐν Γαλααδ τῷ Γαδδι καὶ τὴν Γαυλων ἐν Βασαν τῷ Μανασση.
44 [44]Οὗτος ὁ νόμος, ὃν παρέθετο Μωυσῆς ἐνώπιον υἱῶν Ισραηλ·
45 [45]ταῦτα τὰ μαρτύρια καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα, ὅσα ἐλά-
λησεν Μωυσῆς τοῖς υἱοῖς Ισραηλ ἐν τῇ ἐρήμῳ ἐξελθόντων αὐτῶν
46 ἐκ γῆς Αἰγύπτου [46]ἐν τῷ πέραν τοῦ Ιορδάνου ἐν φάραγγι ἐγγὺς
οἴκου Φογωρ ἐν γῇ Σηων βασιλέως τῶν Αμορραίων, ὃς κατῴκει
ἐν Εσεβων, οὓς ἐπάταξεν Μωυσῆς καὶ οἱ υἱοὶ Ισραηλ ἐξελθόντων
47 αὐτῶν ἐκ γῆς Αἰγύπτου [47]καὶ ἐκληρονόμησαν τὴν γῆν αὐτοῦ καὶ

32 ει ηκ. τοιουτο > A† || 34 και εν οραμ. μεγ. > B*† | κυριος > B*† || 35 ειδησαι B†] -δεναι A | ουτος] αυτος A | ετι] αλλος A† || 36 ακουστη — φωνη] ακουστην σοι εποιησεν την φωνην A || 38 init.] pr. και B*† || 40 φυλαξασθε B† | οσας] ας Bc | μακροημεροι] μακροχρονιοι A† || 42 φευγειν B*A† | ος αν] pr. ος αν φυγη εκει και ζησεται Bc: ex 19 4 | και τριτης] ουδε προ της τριτης B*(†) || 45 και τα κριμ. > B* | εν τη ερημω] > B, in *O* sub ÷ || 46 ους] ον ABc



τὴν γῆν Ωγ βασιλέως τῆς Βασαν, δύο βασιλέων τῶν Αμορραίων,
οἳ ἦσαν πέραν τοῦ Ιορδάνου κατ᾽ ἀνατολὰς ἡλίου, [48]ἀπὸ Αροηρ, 48
ἥ ἐστιν ἐπὶ τοῦ χείλους χειμάρρου Αρνων, καὶ ἐπὶ τοῦ ὄρους τοῦ
Σηων, ὅ ἐστιν Αερμων, [49]πᾶσαν τὴν Αραβα πέραν τοῦ Ιορδάνου 49
κατ᾽ ἀνατολὰς ἡλίου ὑπὸ Ασηδωθ τὴν λαξευτήν.

[1]Καὶ ἐκάλεσεν Μωυσῆς πάντα Ισραηλ καὶ εἶπεν πρὸς αὐτούς 5
Ἄκουε, Ισραηλ, τὰ δικαιώματα καὶ τὰ κρίματα, ὅσα ἐγὼ λαλῶ ἐν
τοῖς ὠσὶν ὑμῶν ἐν τῇ ἡμέρᾳ ταύτῃ, καὶ μαθήσεσθε αὐτὰ καὶ φυλά-
ξεσθε ποιεῖν αὐτά. [2]κύριος ὁ θεὸς ὑμῶν διέθετο πρὸς ὑμᾶς δια- 2
θήκην ἐν Χωρηβ· [3]οὐχὶ τοῖς πατράσιν ὑμῶν διέθετο κύριος τὴν 3
διαθήκην ταύτην, ἀλλ᾽ ἢ πρὸς ὑμᾶς, ὑμεῖς ὧδε πάντες ζῶντες σή-
μερον· [4]πρόσωπον κατὰ πρόσωπον ἐλάλησεν κύριος πρὸς ὑμᾶς 4
ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρός — [5]κἀγὼ εἱστήκειν ἀνὰ μέσον 5
κυρίου καὶ ὑμῶν ἐν τῷ καιρῷ ἐκείνῳ ἀναγγεῖλαι ὑμῖν τὰ ῥήματα
κυρίου, ὅτι ἐφοβήθητε ἀπὸ προσώπου τοῦ πυρὸς καὶ οὐκ ἀνέβητε
εἰς τὸ ὄρος — λέγων

[6]Ἐγὼ κύριος ὁ θεός σου ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου ἐξ 6
οἴκου δουλείας. [7]οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πρὸ προσώπου μου. 7
— [8]οὐ ποιήσεις σεαυτῷ εἴδωλον οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν 8
τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ κάτω καὶ ὅσα ἐν τοῖς ὕδασιν
ὑποκάτω τῆς γῆς. [9]οὐ προσκυνήσεις αὐτοῖς οὐδὲ μὴ λατρεύσῃς 9
αὐτοῖς, ὅτι ἐγώ εἰμι κύριος ὁ θεός σου, θεὸς ζηλωτὴς ἀποδιδοὺς
ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς
μισοῦσίν με [10]καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσίν με καὶ 10
τοῖς φυλάσσουσιν τὰ προστάγματά μου. — [11]οὐ λήμψῃ τὸ ὄνομα 11
κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθαρίσῃ κύριος τὸν
λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ. — [12]φύλαξαι τὴν ἡμέ- 12
ραν τῶν σαββάτων ἁγιάζειν αὐτήν, ὃν τρόπον ἐνετείλατό σοι κύ-
ριος ὁ θεός σου. [13]ἓξ ἡμέρας ἐργᾷ καὶ ποιήσεις πάντα τὰ ἔργα 13
σου· [14]τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα κυρίῳ τῷ θεῷ σου, οὐ 14
ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον, σὺ καὶ οἱ υἱοί σου καὶ ἡ θυγάτηρ
σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, ὁ βοῦς σου καὶ τὸ ὑποζύ-
γιόν σου καὶ πᾶν κτῆνός σου καὶ ὁ προσήλυτος ὁ παροικῶν ἐν σοί,

48 επι το χειλος B*† || 49 περαν] pr. ο εστιν A† | υπο] απο B*A
5 3 κυριος > A† || 4 εν τω ορει > A† || 5 τα ρηματα] ενωπιον A† || 6 εγω B*†] + ειμι ABc (in *O* sub ※) | ο εξαγαγων] οστις εξηγαγον A: cf. Exod. 20 2 || 7 προ προσωπου μου] πλην εμου A: cf. Exod. 20 3 || 8 ειδωλον] γλυπτον A | τω υδατι A || 9 ουδε μη λατρευσης] και ου λατρευσεις A | οτι εγω] εγω γαρ B*†: cf. Exod. 20 5 || 11 κυριος] + ο θεος σου Bc: cf. Exod. 20 7 || 14 οι υιοι] ο υιος ABc: cf. Exod. 20 10 | και $6^{0}$ > B*† | σοι] + εν γαρ εξ ημεραις εποιησεν κυριος τον τε ουρανον και την γην και την θαλασσαν και παντα τα εν αυτοις B*†: ex Exod. 20 11

ἵνα ἀναπαύσηται ὁ παῖς σου καὶ ἡ παιδίσκη σου ὥσπερ καὶ σύ·
15 15καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα ἐν γῇ Αἰγύπτῳ καὶ ἐξήγαγέν σε
κύριος ὁ θεός σου ἐκεῖθεν ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψη-
λῷ, διὰ τοῦτο συνέταξέν σοι κύριος ὁ θεός σου ὥστε φυλάσ-
16 σεσθαι τὴν ἡμέραν τῶν σαββάτων καὶ ἁγιάζειν αὐτήν. — 16τίμα
τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ὃν τρόπον ἐνετείλατό σοι
κύριος ὁ θεός σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ
17 ἐπὶ τῆς γῆς, ἧς κύριος ὁ θεός σου δίδωσίν σοι. — 17οὐ μοιχεύ-
18—20 σεις. — 18οὐ φονεύσεις. — 19οὐ κλέψεις. — 20οὐ ψευδομαρτυ-
21 ρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ. — 21οὐκ ἐπιθυ-
μήσεις τὴν γυναῖκα τοῦ πλησίον σου. οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν
τοῦ πλησίον σου οὔτε τὸν ἀγρὸν αὐτοῦ οὔτε τὸν παῖδα αὐτοῦ
οὔτε τὴν παιδίσκην αὐτοῦ οὔτε τοῦ βοὸς αὐτοῦ οὔτε τοῦ ὑπο-
ζυγίου αὐτοῦ οὔτε παντὸς κτήνους αὐτοῦ οὔτε ὅσα τῷ πλησίον
σού ἐστιν.
22 22Τὰ ῥήματα ταῦτα ἐλάλησεν κύριος πρὸς πᾶσαν συναγωγὴν
ὑμῶν ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρός, σκότος, γνόφος, θύελλα,
φωνὴ μεγάλη, καὶ οὐ προσέθηκεν· καὶ ἔγραψεν αὐτὰ ἐπὶ δύο πλά-
23 κας λιθίνας καὶ ἔδωκέν μοι. 23καὶ ἐγένετο ὡς ἠκούσατε τὴν φωνὴν
ἐκ μέσου τοῦ πυρὸς καὶ τὸ ὄρος ἐκαίετο πυρί, καὶ προσήλθετε
πρός με, πάντες οἱ ἡγούμενοι τῶν φυλῶν ὑμῶν καὶ ἡ γερουσία
24 ὑμῶν, 24καὶ ἐλέγετε Ἰδοὺ ἔδειξεν ἡμῖν κύριος ὁ θεὸς ἡμῶν τὴν
δόξαν αὐτοῦ, καὶ τὴν φωνὴν αὐτοῦ ἠκούσαμεν ἐκ μέσου τοῦ πυ-
ρός· ἐν τῇ ἡμέρᾳ ταύτῃ εἴδομεν ὅτι λαλήσει ὁ θεὸς πρὸς ἄνθρω-
25 πον, καὶ ζήσεται. 25καὶ νῦν μὴ ἀποθάνωμεν, ὅτι ἐξαναλώσει ἡμᾶς
τὸ πῦρ τὸ μέγα τοῦτο, ἐὰν προσθώμεθα ἡμεῖς ἀκοῦσαι τὴν φωνὴν
26 κυρίου τοῦ θεοῦ ἡμῶν ἔτι, καὶ ἀποθανούμεθα. 26τίς γὰρ σάρξ,
ἥτις ἤκουσεν φωνὴν θεοῦ ζῶντος λαλοῦντος ἐκ μέσου τοῦ πυρὸς
27 ὡς ἡμεῖς καὶ ζήσεται; 27πρόσελθε σὺ καὶ ἄκουσον ὅσα ἐὰν εἴπῃ
κύριος ὁ θεὸς ἡμῶν, καὶ σὺ λαλήσεις πρὸς ἡμᾶς πάντα, ὅσα ἂν
λαλήσῃ κύριος ὁ θεὸς ἡμῶν πρὸς σέ, καὶ ἀκουσόμεθα καὶ ποιή-
28 σομεν. 28καὶ ἤκουσεν κύριος τὴν φωνὴν τῶν λόγων ὑμῶν λαλούν-
των πρός με, καὶ εἶπεν κύριος πρός με Ἤκουσα τὴν φωνὴν τῶν
λόγων τοῦ λαοῦ τούτου, ὅσα ἐλάλησαν πρὸς σέ· ὀρθῶς πάντα,
29 ὅσα ἐλάλησαν. 29τίς δώσει οὕτως εἶναι τὴν καρδίαν αὐτῶν ἐν
αὐτοῖς ὥστε φοβεῖσθαί με καὶ φυλάσσεσθαι τὰς ἐντολάς μου

14 σου ult.] + και το υποζυγιον σου Bc || 15 σοι] σε A† | φυλασσεσθαι] -αξεσθαι A†, + σε ABc || 16 σοι 1⁰ > B*† | μακροχρονιος γενη A] -νιοι ητε Br || 17/18] tr. A = 𝔐 || 21 ουτε 1⁰ — 5⁰] ουδε A: cf. Exod. 20 17 | οσα] pr. παντα ABc | τω] του Bc || 22 λιθινας > B*† | fin.] + κυριος Bc || 24 ημιν] post ημων tr. Bc, > B* | ο ult. > B*† || 25 προσθωμεν A | ημεις ακουσαι] tr. A || 27 οσα 1⁰] pr. παντα Bc | ημων 1⁰] + προς σε A | ημων 1⁰⌒2⁰ B* || 29 ουτως ειναι] tr. ABc | φυλασσειν A



πάσας τὰς ἡμέρας, ἵνα εὖ ᾖ αὐτοῖς καὶ τοῖς υἱοῖς αὐτῶν δι' αἰ-
ῶνος; 30βάδισον εἰπὸν αὐτοῖς Ἀποστράφητε ὑμεῖς εἰς τοὺς οἴκους 30
ὑμῶν· 31σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ, καὶ λαλήσω πρὸς σὲ τὰς 31
ἐντολὰς καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα, ὅσα διδάξεις αὐτούς,
καὶ ποιείτωσαν ἐν τῇ γῇ, ἣν ἐγὼ δίδωμι αὐτοῖς ἐν κλήρῳ. 32καὶ 32
φυλάξεσθε ποιεῖν ὃν τρόπον ἐνετείλατό σοι κύριος ὁ θεός σου·
οὐκ ἐκκλινεῖτε εἰς δεξιὰ οὐδὲ εἰς ἀριστερὰ 33κατὰ πᾶσαν τὴν ὁδόν, 33
ἣν ἐνετείλατό σοι κύριος ὁ θεός σου πορεύεσθαι ἐν αὐτῇ, ὅπως
καταπαύσῃ σε καὶ εὖ σοι ᾖ καὶ μακροημερεύσητε ἐπὶ τῆς γῆς, ἧς
κληρονομήσετε.
1Καὶ αὗται αἱ ἐντολαὶ καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα, ὅσα 6
ἐνετείλατο κύριος ὁ θεὸς ἡμῶν διδάξαι ὑμᾶς ποιεῖν οὕτως ἐν τῇ
γῇ, εἰς ἣν ὑμεῖς εἰσπορεύεσθε ἐκεῖ κληρονομῆσαι αὐτήν, 2ἵνα φο- 2
βῆσθε κύριον τὸν θεὸν ὑμῶν φυλάσσεσθαι πάντα τὰ δικαιώματα
αὐτοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ, ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον,
σὺ καὶ οἱ υἱοί σου καὶ οἱ υἱοὶ τῶν υἱῶν σου πάσας τὰς ἡμέρας
τῆς ζωῆς σου, ἵνα μακροημερεύσητε. 3καὶ ἄκουσον, Ισραηλ, καὶ 3
φύλαξαι ποιεῖν, ὅπως εὖ σοι ᾖ καὶ ἵνα πληθυνθῆτε σφόδρα, καθ-
άπερ ἐλάλησεν κύριος ὁ θεὸς τῶν πατέρων σου δοῦναί σοι γῆν
ῥέουσαν γάλα καὶ μέλι.
4Καὶ ταῦτα τὰ δικαιώματα καὶ τὰ κρίματα, ὅσα ἐνετείλατο κύριος 4
τοῖς υἱοῖς Ισραηλ ἐν τῇ ἐρήμῳ ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου
Ἄκουε, Ισραηλ· κύριος ὁ θεὸς ἡμῶν κύριος εἷς ἐστιν· 5καὶ ἀγα- 5
πήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης
τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς δυνάμεώς σου. 6καὶ ἔσται τὰ ῥή- 6
ματα ταῦτα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐν τῇ καρδίᾳ σου
καὶ ἐν τῇ ψυχῇ σου· 7καὶ προβιβάσεις αὐτὰ τοὺς υἱούς σου καὶ 7
λαλήσεις ἐν αὐτοῖς καθήμενος ἐν οἴκῳ καὶ πορευόμενος ἐν ὁδῷ
καὶ κοιταζόμενος καὶ διανιστάμενος· 8καὶ ἀφάψεις αὐτὰ εἰς σημεῖον 8
ἐπὶ τῆς χειρός σου, καὶ ἔσται ἀσάλευτον πρὸ ὀφθαλμῶν σου· 9καὶ 9
γράψετε αὐτὰ ἐπὶ τὰς φλιὰς τῶν οἰκιῶν ὑμῶν καὶ τῶν πυλῶν ὑμῶν.
10Καὶ ἔσται ὅταν εἰσαγάγῃ σε κύριος ὁ θεός σου εἰς τὴν γῆν, 10
ἣν ὤμοσεν τοῖς πατράσιν σου τῷ Αβρααμ καὶ Ισαακ καὶ Ιακωβ
δοῦναί σοι, πόλεις μεγάλας καὶ καλάς, ἃς οὐκ ᾠκοδόμησας, 11οἰκίας 11
πλήρεις πάντων ἀγαθῶν, ἃς οὐκ ἐνέπλησας, λάκκους λελατομη-
μένους, οὓς οὐκ ἐξελατόμησας, ἀμπελῶνας καὶ ἐλαιῶνας, οὓς οὐ

31 ποιειτωσαν] + ουτω Bc || 32 εκκλινεις A | εις 1⁰ (non 2⁰) > A || 33 σοι / κυρ. ο θεος σου] tr. A | εν αυτη > A | ης] ην A
6 1 κυριος > B* | υμεις εισπορ.] tr. A† | αυτην > ABc || 2 υμων] ημ. A | φυλασσεσθαι 𝔐] -σθε BA | οσας] ας ABc || 3 οπως] ινα Bc | σοι η] tr. A || 4 κυριος 1⁰] μωυσης B*(uid.) | εν τη ερημω > B* || 5 καρδιας A] διανοιας Br || 7 αυτα > B*† | διανισταμενος] δι > A || 9 γραψεις A || 10 ωμοσεν] + κυριος B† | ισαακ et ιακωβ] pr. τω Bc || 11 εξελατομησας] εξ > B*